Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: cbm-at

*Εὐριπίδης* · Euripides

# Phaethon

*Φαέθων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

**ΦΑΕΘΩΝ**

Μέροπι τῆσδ’ ἄνακτι γῆς, ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα Ἥλιος ἀνίσχων χρυσέαι βάλλει φλογί. καλοῦσι δ’ αὐτὴν γείτονες μελάμβροτοι
Ἕω φαεννὰς ‘Ηλίου θ’ ἱπποστάσεις. . . .
θερμὴ δ’ ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς . . . . . . . .
καίει τὰ πόρσω τἀγγύθεν δ’ εὔκρατ’ ἔχει. . . .
αγας θεῶν κπέμπων πατήρ ⁚
εις λέχος . αιλοσευς .... α . ας ... ( . ) ων λέχη ⁚ νοσμενηι
εγω .... ( . )( . )
νονθ’ ὁρῶ ωμενον ⁚ ( ...... ) μηλίους
δεν πατρί ...... ( . ) ν . ( . ) πατήρ ⁚ ευπεφυς η θεᾶς λέχη
ἀεὶ λέγεις ν θεούς λπίσιν ... ( . ) ερον ελημεθα
.. υγμαι φιλεῖ ατης γάμοι . ευσα . ε ( . ) ω ς . αι πικραι . ωμενου ( . )
θων ὅτου .... φυ . ⁚ ( ...... ) νέπουσά μοι λησω πατρός
( ...... ) . ον φίλον ⁚ ἀ φίλτατα· ευδη . ιθεις
οταν φαν .
(desunt versus quattuor)
μνησθεὶς ὅ μοί ποτ’ εἶφ’ ὅτ’ ηὐνάσθη θεὸς αἰτοῦ τί χρήιζεις ἕν· πέρα γὰρ οὐ θέμις λαβεῖν σε· κἂν μὲν τυγχάνηις 〈ὅπερ θέλεις〉 θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.
πῶς οὖν πρόσειμι δῶμα θερμὸν ‘Ηλίου;
(50)
εἴπερ πατὴρ πέφυκεν, οὐ κακῶς λέγεις.
σάφ’ ἴσθι· πεύσηι δ’ αὐτὸ τῶι χρόνωι σαφῶς.
ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν. ἀλλ’ ἕρπ’ ἐς οἴκους· καὶ γὰρ αἵδ’ ἔξω δόμων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δμωιαὶ περῶσιν, αἳ πατρὸς κατὰ σταθμὰ σαίρουσι δῶμα καὶ δόμων κειμήλια καθ’ ἡμέραν φοιβῶσι κἀπιχωρίοις ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων. ὅταν δ’ ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ

πύλας ἀμείψηι καὶ λόγους γάμων πέρι λέξηι πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.

ἤδη μὲν ἀρτιφανὴς

Ἀὼς ἱ κατὰ γᾶν,

ὑπὲρ δ’ ἐμᾶς κεφαλᾶς Πλειά, μέλπει δὲ δένδρεσι λεπτὰν ἀηδὼν ἁρμονίαν ὀρθρευομένα γόοις

Ἴτυν Ἴτυν πολύθρηνον. σύριγγας δ’ οὐριβάται κινοῦσιν ποιμνᾶν ἐλάται, ἔγρονται δ’ εἰς βοτάναν ξανθᾶν πώλων συζυγίαι·

ἤδη δ’ εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι, παγαῖς τ’ ἐπ’ Ὠκεανοῦ μελιβόας κύκνος ἀχεῖ. ἄκατοι δ’ ἀνάγονται ὑπ’ εἰρεσίαις

ἀνέμων τ’ εὐαέσσιν ῥοθίοις, ἀνὰ δ’ ἱστία ν ἀειράμενοι ἰαχοῦσιν πότνι’ αὔρ

ἀκύμονι πομπᾶι σιγώντων ἀνέμων

τε καὶ φιλίας ἀλόχους· σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάζει. τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει, κόσμον δ’ ὑμεναίων δεσποσύνων ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως

ὑμνεῖν· δμωσὶν γὰρ ἀνάκτων εὐαμερίαι προσιοῦσαι μολπᾶι θάρσος ἄγους’ ἐπιχάρματά τ’· εἰ δὲ τύχα τι τέκοι βαρὺν βαρεῖα φόβον ἔπεμψεν οἴκοις.

ὁρίζεται δὲ τόδε φάος γάμων τέλει, τὸ δή ποτ’ εὐχαῖς ἐγὼ λισσομένα προσέβαν ὑμέναιον ἀεῖσαι φίλον φίλων δεσποτᾶν· θεὸς ἔδωκε, χρόνος ἔκρανε

(100)

ἀλλ’ ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων κῆρύξ θ’ ἱερὸς καὶ παῖς Φαέθων βαίνουσι τριπλοῦν ζεῦγος, ἔχειν χρὴ

στόμ’ ἐν ἡσυχίαι· περὶ γὰρ μεγάλων γνώμας δείξει παῖδ’ ὑμεναίοις ὁσίοισι θέλων ζεῦξαι νύμφης τε λεπάδνοις.

Ὠκεανοῦ πεδίων οἰκήτορες,

εὐφαμεῖτ’ ὦ, ἐκτόπιοί τε δόμων ἀπαείρετε· ὦ ἴτε λαοί. κηρύσσω δ’ ὁσίαν βασιλήϊον αὐτῶι δ’ αὐδὰν

εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος ἅδ’ ἕνεχ’ ἥκει, παιδὸς πατρός τε τῆιδ’ ἐν ἡμέραι λέχη κρᾶναι θελόντων· ἀλλὰ σῖγ’ ἔστω λεώς.

. . . . . . .

. . . . εἰ γὰρ εὖ λέγω (desunt versus quinque)

ὧν δ’ υ[ ε . οιμ . [ ἐν σοι ν[

ναῦν τοι μί’ ἄγκυρ’ οὐχ ὁμῶς σώιζειν φιλεῖ

τῶι τρεῖς ἀφέντι· προστάτης θ’ ἁπλοῦς πόλει σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει. ἰσχὺν ν[ γήμας . [ γάμοισ[

ἄλλος . [ δώσει . [ νέος δ . [ ἥβης .. [ ουχειχ . [

παι ... ( . ) [ γέρων . [ νέαι . υ[ τοσῶιδ[ε δεινὸν[

σπουδ[ κανδι[ πεσὼν[ ἔχων δ[ κλέψει[

πολεμ[ κῆδοσ[ δεδοικ[ ἕξεις δ’ α[ ὅταν τε[

(150)

155 πᾶσιν σ[ εισοψε[

unknown αγνω . [ . . .

158 ἐλεύθερος δ’ ὢν δοῦλός ἐστι τοῦ λέχους, πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.

160 . . .

160 ἐν τοῖσι μώροις τοῦτ’ ἐγὼ κρίνω βροτῶν, ὅστις πατρῷα παισὶ μὴ φρονοῦσιν εὖ ἢ καὶ πολίταις παραδίδως’ ἐξουσίαν. . . .

163 ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ. . . .

164 δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ’ ἔμφυτον

165 σκαιοῖσιν εἶναι· τί ποτε τοῦδ’ ἐπαίτιον; ἆρ’ ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης; . . .

168 ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ’ εἰσβαλών·

170 κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἁψῖδα σὴν καίων διοίσει . . . .

170 . . . . . . .

170 . . . . . . . ἵει δ’ ἐφ’ ἑπτὰ Πλειάδων ἔχων δρόμον. τοσαῦτ’ ἀκούσας παῖς ἔμαρψεν ἡνίας· κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων μεθῆκεν, αἱ δ’ ἔπταντ’ ἐπ’ αἰθέρος πτυχάς.

175 πατὴρ δ’ ὄπισθε νῶτα Σειρίου βεβὼς ἵππευε παῖδα νουθετῶν· Ἐκεῖς’ ἔλα, τῇιδε στρέφ’ ἅρμα, τῇιδε. . . .

178 ι προθυμίαι ωψουο

180 . κιολτυχαι δυστυχεῖς γὰρ λίπω ες . ( . ) χθονός πλοῦτον δ’ ἐμῶι

185 ισουσαγη . οησεκω ων ἴχνος ς ἅπαντ’ ἐρῶ χθονὸς σκότου

190 πόλει ραννίδι α . ωνμε . ( . ) ου λεύθεροι ( . ) ον πλούσιον

195 νη πόλις μη νόμος ς ἐπήινεσα

unknown . ( . ) ην σοφή ράγματα

unknown (200)

205 . ιτοις κακοῖς σκότωι ποίωι τάφωι . ησεται ν δι’ ἄστεως

210 ειμήλιον ς νεκροί . ιτας τύχας ος πειρατέο ( . ) (desunt versus sex)

214 πυροσθ Ἐρινὺς ἐν νεκροις θ . ρ . ( . ) νυαι

215 ζώσης δ’ ἀνίης’ ἀτμὸν ἐμφανῆ 〈φλογόσ〉 . ἀπωλόμην· οὐκ οἴσετ’ εἰς δόμους νέκυν; πόσις πόσις μοι πλησίον γαμηλίους μολπὰς ἀϋτεῖ παρθένοις ἡγούμενος. οὐ θᾶσσον; οὐ σταλαγμὸν ἐξομόρξετε,

220 εἴ πού τίς ἐστιν αἵματος χαμαὶ πεσών; ἐπείγετ’ ἤδη δμωΐδες· κρύψω δέ νιν

unknown ξεστοῖσι θαλάμοις, ἔνθ’ ἐμῶι κεῖται πόσει χρυσός, μόνη δὲ κλῇθρ’ ἐγὼ σφραγίζομαι. ὦ καλλιφεγγὲς Ἥλι’, ὥς μ’ ἀπώλεσας

225 καὶ τόνδ’· Ἀπόλλων δ’ ἐν βροτοῖς ὀρθῶς καλῆι, ὅστις τὰ σιγῶντ’ ὀνόματ’ οἶδε δαιμόνων.

227 Ὑμὴν Ὑμήν. τὰν Διὸς οὐρανίαν ἀείδομεν, τὰν ἐρώτων πότνιαν, τὰν παρθένοις

230 γαμήλιον Ἀφροδίταν. πότνια, σοὶ τάδ’ ἐγὼ νυμφεῖ’ ἀείδω, Κύπρι θεῶν καλλίστα, τῶι τε νεόζυγι σῶι πώλωι τὸν ἐν αἰθέρι κρύπτεις,

235 σῶν γάμων γένναν· ἃ τὸν μέγαν τᾶσδε πόλεως βασιλῆ νυμφεύεαι ἀστερωποῖσιν δόμοισι χρυσέοις

unknown ἀρχὸν φίλον Ἀφροδίτα·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὦ μάκαρ, ὦ βασιλεὺς μείζων ἔτ’ ὄλβον, ὃς θεὰν κηδεύσεις καὶ μόνος ἀθανάτων γαμβρὸς δι’ ἀπείρονα γαῖαν θνατὸς ὑμνήσηι.

χώρει σὺ καὶ τάσδ’ εἰς δόμους ἄγων κόρας γυναῖκ’ ἄνωχθι πᾶσι τοῖς κατὰ σταθμὰ θεοῖς χορεῦσαι κἀγκυκλώσασθαι δόμοις σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ’ ἕδος, ἀφ’ ἧς γε σώφρων πᾶς τις ἄρχεται θεοῖς

(250)

θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων.

ὦ δέσποτ’, ἔστρεψ’ ἐκ δόμων ταχὺν πόδα. οὗ γὰρ σὺ σώιζηι σεμνὰ θησαυρίσματα χρυσοῦ, δι’ ἁρμῶν ἐξαμείβεται πύλης

καπνοῦ μέλαιν’ ἄησις ἔνδοθεν στέγης. προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός, γέμοντα δ’ οἶκον μέλανος ἔνδοθεν καπνοῦ.

ἀλλ’ ἔσιθ’ ἐς οἶκον, μή τιν’ Ἥφαιστος χόλον δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξηι πυρὶ

ἐν τοῖσιν ἡδίστοισι Φαέθοντος γάμοις.

πῶς φήις; ὅρα μὴ θυμάτων πυρουμένων κατ’ οἶκον ἀτμὸν κεῖς’ ἀποσταλέντ’ ἴδηις.

ἅπαντα ταῦτ’ ἤθρης’· ἀκαπνώτως ἔχει.

οἶδεν δ’ ἐμὴ τάδ’ ἢ οὐκ ἐπίσταται δάμαρ;

θυηπολοῦσα θεοῖς ἐκεῖς’ ἔχει φρένας.

ἀλλ’ εἶμ’, ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε ληφθέντα φαύλως ἐς μέγαν χειμῶν’ ἄγειν. σὺ δ’ ὦ πυρὸς δέσποινα Δήμητρος κόρη Ἥφαιστέ τ’ εἴητ’ εὐμενεῖς δόμοις ἐμοῖς.

τάλαιν’ ἐγὼ τάλαινα ποῖ πόδα πτερόεντα καταστάσω ἀν’ αἰθέρ’, ἢ γᾶς ὑπὸ κεῦθος ἄφαντον ἐξαμαυρωθῶ; ἰώ μοί μοι.

κακὰ φανήσεται· βασίλεια τάλαινα παῖς τ’ ἔσω κρυφαῖος νέκυς, ὀτοτοτοῖ, κεραύνιαί τ’ ἐκ Διὸς πυριβόλοι πλαγαὶ λέχεά θ’ Ἁλίου.

ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν· Ὠκεανοῦ κόρα, πατρὸς ἴθι πρόσπεσε γόνυ λιταῖς σφαγὰς

σφαγὰς οἰκτρὰς ἀρκέσαι σᾶς δειρᾶς.

(ἔσωθεν)

ἰώ μοί μοι.

ἠκούσατ’ ἀρχὰς δεσπότου στεναγμάτων;

(ἔσωθεν)

ἰὼ τέκνον.

καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον. άτων ὁρᾶν σαφῆ. (desunt versus tres)

αια[

ὃς ὑμεν[αιεὐκελαδ[ ὡς ουρα[ σὺ δὲ παρ[ δα[

ουκειθ . [ ὑμεναι[ ολ[ βο[ δα[

(300)

ς . [ κα[ λι[ καλεῖτε[ ὃς ἐμαν[

κακὰ δε[

ὅδ’ ἐκ δό[μων παιδὸς . [

εἶέν· θυρ[ ὡς εἰσο[

ο . ανεκ[ θεᾶς δε[

ὤμοι ⁚ [
στέναζ[ε
αἰαῖ ⁚ [
διπλᾶ δ[
τί γὰρ λε[
τίς παιδ[
εἰδὼς α[
ἵν’ ἀντα[
σμικρο[
κρεισσ[
ὃς σεθ[

Eulogikon public reading copy · View original HTML at eulogikon.org